ΕΚ. τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσει γέρας;
ΔΟ. ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.
ΕΚ. καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.
ΔΟ. αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἔστιν ἄλλα σοί,
ἐφ' οἷσι τέρψει τῆσδ' ἀριστεύων χθονός.
ΧΟ. μέγας ἀγών, μεγάλα δ' ἐπινοεῖς ἑλεῖν· antistr.
μακάριός γε μὴν κυρήσας ἔσει.
πόνος ὅδ' εὐκλεής·
μέγα δὲ κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.
ΔΟ. στείχοιμ' ἄν· ἐλθὼν ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.
ΧΟ. ἐπεὶ τίν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν;
ΔΟ. πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασιν.
ΧΟ. σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον, τίς ἔσται τοῦδε σώματος σάγη;
ΔΟ. λύκειον ἀμφὶ νῶτον ἅψομαι δορὰν
καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας

181. *αἰτήσεις ABC* 182. *μολεῖν* bc 184. *τ' BC* 187. *αὐτάς* B 195. *μέγας μὲν ἀγών BC* 198. *πόνος ὅδ'*] Nauckius, *πόνος δ'* libri. 198. *μεγάλα δέ ABC* 199. *τὰ θεόθεν*] Seidlerus, *τὰ δὲ θεόθεν* libri. 200. *τέλεα* BCbc 203. *κεῖθεν δ' ἐφήσω ABC* 204. *ἐπεὶ τὴν τίν' A εἴπ' ἤ τιν' C* 205. *κλοπτικοῖς, κλοπικοῖς, κλεπτικοῖς, κλωπτικοῖς, κλωπικοῖς* libri. 208. *νῶτα θήσομαι ABC*

*γρ. χάσμα*
209. *χίσμα* BCbc *σχῆμα A σχῆμα BC*